Beauty and Truth in Euripides' *Ion*

Kristin O. Lord
Wilfrid Laurier University (klord@wlu.ca)

I. Euripides, *Ion* 82-90 (Ion speaking)
ἅρματα μὲν τάδε λαμπρὰ τεθρίππων
Ἥλιος ἤδη λάμπει κατὰ γῆν,
ἄστρα δὲ φεύγει πυρὶ τῷδ' αἰθέρος
ἐς νύχθ' ἱεράν·
Παρνησιάδες δ' ἄβατοι κορυφαὶ
καταλαμπόμεναι τὴν ἡμερίαν
ἁψῖδα βροτοῖσι δέχονται.
σμύρνης δ' ἀνύδρου καπνὸς εἰς ὀρόφους
Φοίβου πέταται.

II Euripides, *Ion*, 128-142 (Ion speaking)
καλόν γε τὸν πόνον, ὦ
Φοῖβε, σοὶ πρὸ δόμων **λατρεύ-**
**ω** τιμῶν μαντεῖον ἕδραν·
κλεινὸς δ' ὁ **πόνος** μοι
θεοῖσιν **δούλαν χέρ'** ἔχειν
οὐ θνατοῖς, ἀλλ' ἀθανάτοις·
εὐφάμους δὲ πόνους
μοχθεῖν οὐκ ἀποκάμνω.
Φοῖβός μοι **γενέτωρ πατήρ**:
**τὸν βόσκοντα** γὰρ εὐλογῶ,
**τὸ δ' ὠφέλιμον ἐμοὶ πατέρος**
**ὄνομα** λέγω
Φοίβου τοῦ κατὰ ναόν.
ὦ Παιὰν ὦ Παιάν,
εὐαίων εὐαίων
εἴης, **ὦ Λατοῦς παῖ.**

III. Euripides, *Ion*, 102-111 (Ion speaking)
ἡμεῖς δέ, **πόνους** οὓς ἐκ παιδὸς
**μοχθοῦμεν** ἀεί, πτόρθοισι δάφνης
στέφεσίν θ' ἱεροῖς ἐσόδους Φοίβου
καθαρὰς θήσομεν, ὑγραῖς τε πέδον
ῥανίσιν νοτερόν: πτηνῶν τ' ἀγέλας,
αἳ βλάπτουσιν σέμν' ἀναθήματα,
τόξοισιν ἐμοῖς φυγάδας θήσομεν:
**ὡς γὰρ ἀμήτωρ ἀπάτωρ τε γεγὼς**
**τοὺς θρέψαντας**
Φοίβου ναοὺς **θεραπεύω**.

IV. Euripides, *Ion*, 643-4
δίκαιον εἶναί μ' ὁ νόμος ἡ φύσις θ' ἅμα
παρεῖχε τῷ θεῷ.

V. Euripides, *Ion* 540-543 (Ion, Xuthus)
Ἴων
ἔα. **τίνος δέ σοι πέφυκα μητρός**;
Ξοῦθος
οὐκ ἔχω φράσαι.
Ἴων
οὐδὲ Φοῖβος εἶπε;
Ξοῦθος
τερφθεὶς τοῦτο, κεῖν' οὐκ ἠρόμην.
*Ἴων*
**γῆς ἄρ' ἐκπέφυκα μητρός**.
Ξοῦθος
**οὐ πέδον τίκτει τέκνα.**
Ἴων
πῶς ἂν οὖν εἴην σός;
Ξοῦθος
οὐκ οἶδ', ἀναφέρω δ' ἐς τὸν θεόν.

VI. Euripides, *Ion* 182-194 (chorus)
— οὐκ ἐν ταῖς ζαθέαις Ἀθά-
ναις εὐκίονες ἦσαν αὐ-
λαὶ θεῶν μόνον, οὐδ' ἀγυι-
άτιδες **θεραπεῖαι**:
ἀλλὰ καὶ παρὰ Λοξίᾳ
**τῷ Λατοῦς διδύμων προσώ-**
**πων καλλιβλέφαρον φῶς**.
— ἰδοὺ τάνδ', ἄθρησον,
Λερναῖον ὕδραν ἐναίρει
χρυσέαις ἅρπαις ὁ Διὸς παῖς:
φίλα, πρόσιδ ὅσσοις.'

VII. Plato, *Laws* 684c
καθάπερ ἂν εἴ τις γυμνασταῖς ἢ ἰατροῖς
προστάττοι μεθ' ἡδονῆς θεραπεύειν τε καὶ ἰᾶσθαι
τὰ θεραπευόμενα σώματα
Just as someone would order athletic trainers or
physicians to treat and heal with pleasure the bodies
being treated

VIII. Euripides, *IT* 655-6 (chorus)
ἔτι γὰρ **ἀμφίλογα δίδυμα μέμονε φρήν**,
σὲ πάρος ἢ σὲ ἀναστενάξω γόοις.
(N.B.· σὲ refers sequentially to Orestes and Pylades.)

IX. Euripides, *Ion* 1090-1105 (chorus)
ὁρᾶθ', ὅσοι **δυσκελάδοι-**
**σιν** κατὰ μοῦσαν ἰόντες ἀείδεθ' ὕμνοις
ἁμέτερα λέχεα καὶ γάμους

Κύπριδος ἀθέμιτας ἀνοσίους, ὅσον
**εὐσεβίᾳ** κρατοῦμεν
ἄδικον ἄροτον ἀνδρῶν.
παλίμφαμος ἀοιδὰ
καὶ μοῦσ᾽ εἰς ἄνδρας ἴτω
**δυσκέλαδος** ἀμφὶ λέκτρων.
δείκνυσι γὰρ ὁ Διὸς ἐκ
παίδων ἀμνημοσύναν,
**οὐ κοινὰν τεκέων τύχαν**
οἴκοισι φυτεύσας
δεσποίνᾳ· πρὸς δ᾽ Ἀφροδί-
ταν ἄλλαν θέμενος χάριν
**νόθου παιδὸς** ἔκυρσεν.

X. Euripides, *Ion* 1510-11 (chorus)
μηδεὶς δοκείτω μηδὲν ἀνθρώπων ποτὲ
ἄελπτον εἶναι πρὸς τὰ τυγχάνοντα νῦν.

XI. Euripides, *Ion* 1312-19 (Ion)
φεῦ.
**δεινόν γε, θνητοῖς τοὺς νόμους ὡς οὐ καλῶς**
**ἔθηκεν ὁ θεὸς οὐδ᾽ ἀπὸ γνώμης σοφῆς·**
τοὺς μὲν γὰρ **ἀδίκους** βωμὸν οὐχ ἵζειν ἐχρῆν,
ἀλλ᾽ ἐξελαύνειν· οὐδὲ γὰρ ψαύειν καλὸν
θεῶν πονηρὰν χεῖρα· **τοῖσι δ᾽ ἐνδίκοις** —
ἱερὰ καθίζειν, ὅστις **ἠδικεῖτ᾽**, ἐχρῆν·
**καὶ μὴ 'πὶ ταὐτὸ τοῦτ᾽ ἰόντ᾽ ἔχειν ἴσον**
**τόν τ᾽ ἐσθλὸν ὄντα τόν τε μὴ θεῶν πάρα.**

XII. Euripides, *Ion* 1324-7 (Ion, priestess)
χαῖρ᾽, **ὦ φίλη μοι μῆτερ, οὐ τεκοῦσά περ**.
<u>Προφῆτις</u>
ἀλλ᾽ οὖν λεγώμεθ᾽· ἡ φάτις δ᾽ οὔ μοι πικρά.
<u>Ἴων</u>
ἤκουσας ὥς μ᾽ ἔκτεινεν ἥδε **μηχαναῖς**;
<u>Προφῆτις</u>
ἤκουσα· **καὶ σὺ δ᾽ ὠμὸς ὢν ἁμαρτάνεις**.

XIII. Aristotle, *Poetics* 13.1453a8-10
ἔστι δὲ τοιοῦτος ὁ μήτε ἀρετῇ διαφέρων καὶ δικαιοσύνῃ μήτε διὰ κακίαν καὶ μοχθηρίαν μεταβάλλων εἰς τὴν δυστυχίαν άλλὰ δι' ἁμαρτίαν τινά...

XIV. Euripides, *Ion* 1606-9 (chorus)
ὦ Διὸς Παλλὰς μεγίστου θύγατερ, **οὐκ ἀπιστίᾳ**
σοὺς λόγους ἐδεξάμεσθα· πείθομαι δ᾽ εἶναι πατρὸς
Λοξίου καὶ τῆσδε. — καὶ πρὶν τοῦτο δ᾽ **οὐκ ἄπιστον** ἦν.

<u>Select Bibliography:</u>


Conacher, Desmond. 1998. *Euripides and the Sophists*. London.

Euripides, *Ion*. ed. A.S. Owen. 1957. Oxford.

Fletcher, Judith. 2009. "Weaving Women's Tales in Euripides' Ion," in J.R.C. Cousland and James R. Hume, *The Play of Texts and Fragments: Essays in Honour of Martin Cropp*, Leiden. pp.127-139.

Lloyd, Michael A. 2012. "Space in Euripides," in I. J. F. de Jong, ed., *Space in Ancient Greek Literature*. Leiden. pp. 341-357.

Loraux, Nicole. 1990. "Kreousa the Autochthon: A Study of Euripides' *Ion*," in John J. Winkler and Froma I. Zeitlin, ed., *Nothing to Do with Dionysus? Athenian Drama in its Social Context*. Princeton. pp. 168-206.

Martin, Gunther. 2010. "On the Date of Euripides' *Ion*." *CQ* 60.2, pp. 647-664.

Mastronarde, Donald J. 2003. "Iconography and Imagery in Euripides' *Ion*," in Judith Mossman, *Euripides*. Oxford. pp. 295-308.

Meltzer, Gary S. 2006. *Euripides and the Poetics of Nostalgia*. Cambridge, Cambs.

Rehm, Rush. 2009. "Tragedy and Privilege," in Cousland and Hume. p. 235-253.

Romilly, Jacqueline de. 1992. *The Great Sophists in Periclean Athens*. Janet Lloyd, trans. Oxford.

Rush, Brian V. 2008. R*ecognition and the Limits to Knowledge in Euripides*. Diss. Madison.

Scott, Michael. 2014. *Delphi: A History of the Center of the Ancient World*. Princeton.

Seaford, Richard. 1990. "The Structural Problems of Marriage in Euripides," in Anton Powell, ed., *Euripides, Women, and Sexuality*. London. pp. 151-176.

Swift, Laura. 2008. Euripides: *Ion*. London.

Vickers, Michael. 2014. "Politics and Challenge: The Case of Euripides' *Ion*. *CW* 107.3, pp. 299-318.

Wiles, David. 1997. *Tragedy in Athens: Performance space and theatrical meaning*. Cambridge.

Williams, Raymond. (1975). *The Country and the City*. Oxford.

Wright, Matthew. (2005) *Euripides' escape-tragedies: a study of Helen, Andromeda and Iphigenia among the Taurians*. Oxford.

Zacharia, Katerina. (2003). *Converging Truths: Euripides' Ion and the Athenian Quest for Self-Definition*. Leiden.